Nach *Head* aus der Zeit von 400—330 v. Chr., der Schreibung O für ω wegen gegen 400 anzusetzen.

4623 Silbermünzen (Didrachmen). *Mionnet* I, 144 n. 431; Numism. Zeitschr. 1870, p. 19; Zeitschr. f. Numismatik I, 278; *Head*, Hist. num. 48 Anm.

Ταραντίνων ἡμί.

„Wohl nicht lange nach 400 v. Chr.“ *v. Sallet*, Zeitschr. f. Numismatik a. O.

4624 Silbermünzen (Didrachmen). *Head*, Hist. num. 50 ff.

Av. Nackter Reiter. *Νικώττας. Εὐ.*
" " *Φίλων* (ein Typus linksläufig, ein anderer rechtsläufig). *Εὐ.*
" " *Φιλοκλῆς. Σι.*
" " *Ἀριστίας. Εὐ.*
" " *Νικόδαμος. Εὐ.*
" " *Σα. Ἀρέθων.*
" " *Σι. Δεινοκράτης.*

Rv. Taras auf dem Delphin; im Felde gewöhnlich ein oder mehrere Buchstaben.

Aus der Zeit von 360—300 v. Chr. (*Head*).

4625 Silbermünzen (Didrachmen). *Head*, Hist. num. 52.

Av. Behelmter Reiter. *Εὐ. Σώστρατος.*
" " *Γυ. Σώστρατος.*
" " *Εὐ. Φιντίας.*

Rv. Taras auf dem Delphin. *Πολυ.* Blitz oder (beim dritten Typus) Schiffsschnabel.

Aus der Zeit von 300—272 v. Chr.

4626 Silbermünzen (Didrachmen). *Head*, Hist. num. 53 f.

Av. Nackter Reiter. *Ηηρακλῃι* [*Ηηρακλῄι(ος)* oder *Ηηρακλῄι(δας)*?].
" " *Ζωπυρίων. Σω.* Stierschädel.
" " *Ὄλυμπις.*
Bewaffneter Reiter. *Ηι. Ζω. Πυλλω.*
Nackter Reiter. *Ἀριστοκλῆς. Δι.*
Bewaffneter Reiter. *Ηηράκλητος.*
Nackter Reiter. *Φιλήμενος. Φι.*
" " *Ξενέας. Εὐ. Φι.*
" " *Σάλων. Ἀρ.* (Monogramm).
" " *Λέων.*
" " *Ζω. Νευμή(νιος).*
" " *Φιλοκλῆς* (Zwei Monogramme). Delphin.

Nackter Reiter. *Φι. Ζώπυρος?*
„ „ *Ἄριστις.* Anker.
„ „ *Ζώπυρος. Γυ.*
„ „ *Φιλώτας. Δι.*
„ „ *Ἱστίαρ(χος). Εὐ. Φι.*
„ „ *Φιλοκρά(της). Νκ.* (Monogramm.)
„ „ *Ἀνκίσκος. Συ.*
„ „ *Φιλώτας.* Füllhorn.
„ „ *Νικοκράτης.* Monogramm.
„ „ *Ἀριστοκράτης. Μ.*
„ „ *Δαμοκρε . . (?). Εὐε.*
„ „ *Ἀριστείδ(ας). Φι.*

Reiter mit Chlamys und Panzer. *Ξενοκράτης.* Monogramm.
„ „ „ „ „ *Καλλικράτης.* „

Reiter mit erhobener Rechten. *Φιλίσκος.*

Rv. Taras auf dem Delphin mit verschiedenen Symbolen und Buchstaben.

Aus der Zeit von 300—272 v. Chr. (*Head*).

4627 Silbermünzen (Drachmen). *Head*, Hist. num. 54.

Av. Pallaskopf mit Helm.

Rv. *Ταρ.* Eule, gewöhnlich mit Beamtennamen: *Ζορ.*, *Ἀριστοκράτης*, *Ζαλο.*, *Νευμήνιος*, *Πολυ.*, *Ὄλυμπις*, *Ἱστίαρχος* u. s. w.

Aus der Zeit von 400—272 v. Chr. (*Head*).

4628 Silbermünzen (Didrachmen und Drachmen). *Head*, Hist. num. 54.

Av. Nackter Reiter. Beamtennamen: *Κρῖτος*, *Σήραμβος*, *Σωγένης*, *Σωκάννας* u. s. w.

Rv. *Τάρας.* Taras auf dem Delphin, gewöhnlich mit Monogramm im Feld.

Aus der Zeit von 212—209 v. Chr. (*Head*).

Herakleia am Siris.

4629 Die „Herakleischen Tafeln“, gefunden im Bett des Salandra (Salandrella, Cavone), zuerst (1732) die erste von Z. 50 bis zum Schluss und die zweite in der Ausdehnung, wie wir sie jetzt haben, einige Jahre später der erste Teil (Z. 1—50) der ersten Tafel, der bald nach seiner Auffindung nach England gebracht wurde (Fragmentum Brittanicum). Beide Tafeln befinden sich jetzt im Nationalmuseum zu Neapel, die erste ist durch Zusammenlötung der beiden Fragmente vollständig gemacht. *Mazocchi*, commentariorum in Regii Herculanensis musei aeneas tabulas Heracleenses pars I et II, Neapel 1754. 1755; *Franz*, CIG. 5774. 5775; *Kaibel*, Inscriptiones Graecae Siciliae et Italiae 645. — *Peyron*, La prima tavola di Eraclea illustrata, Turin 1869; *Meister*, *Curtius*' Studien IV (1871) 355—469; *Cauer*² 40. 41; *Dareste-Haussoullier-Reinach*, Recueil des inscriptions juridiques Gr. p. 193 ff. n. XII.

I.

Ἔφορος Ἀρίσταρχος Ηρακλείδα, μὴς | Ἀπελλαῖος· ha πόλις καὶ τοὶ ὁρισταί· | Ϝε τρίπους Φιλώνυμος Ζωπυρίσκω, |
5 *πε καρυκεῖον Ἀπολλώνιος Ηρακλήτω, || αι πέλτα Δάζιμος Πύρρω, κν θρῖναξ | Φιλώτας Ηιστιείω, με ἐπιστύλιον | Ηρακλείδας Ζωπύρω Διονύσωι. |*

Ἀνέγραψαν τοὶ ὁρισταὶ τοὶ hαιρεθέντες ἐπὶ τὼς χώρως τὼς hιαρὼς τὼς τῶ Διονύσω· | Φιλώνυμος Ζωπυρίσκω, Ἀπολλώ-
10 *νιος Ηρακλήτω, Δάζιμος Πύρρω, Φιλώτας Ηιστιείω, || Ηρακλείδας Ζωπύρω, καθὰ εἶξαν καὶ ἐτέρμαξαν καὶ συνεμέτρησαν καὶ ἐμέρι|ξαν τῶν Ηρακλείων διακνόντων ἐν κατακλήτωι ἁλίαι.*

Συνεμετρήσαμες δὲ ἀρξάμε|νοι ἀπὸ τῶ ἀντόμω τῶ hυπὲρ Πανδοσίας ἄγοντος τῶ διατάμνοντος τώς τε hιαρὼς χώ|ρως καὶ τὰν Ϝιδίαν γᾶν ἐπὶ τὸν ἄντομον τὸν ὁρίζοντα τώς τε τῶ Διονύσω χώρως καὶ | τὸν Κωνέας ho Δίωνος ἐπαμώχη. κατε-
15 *τάμομες δὲ μερίδας τέτορας· || τὰν μὲν πράταν μερίδα ἀπὸ τῶ ἀντόμω τῶ πὰρ τὰ Ηρωίδεια ἄγοντος, | εὖρος ποτὶ τὰν τριακοντάπεδον τὰν διὰ τῶν hιαρῶν χώρων ἄγωσαν, | μᾶκος δὲ ἄνωθα ἀπὸ τᾶν ἀποροᾶν ἄχρι ἐς ποταμὸν τὸν Ἄκιριν, καὶ | ἐγένοντο μετριώμεναι ἐν ταύται τᾶι μερείαι ἐρρηγείας μὲν δι|ακάτιαι μία σχοῖνοι, σκίρω δὲ καὶ ἀρρήκτω καὶ δρυμῶ*
20 *Ϝεξακάτιαι || τετρώκοντα Ϝὲξ σχοῖνοι hημίσχοινον· τὰν δὲ δευτέραν μερίδα, εὖρος ἀπὸ | τᾶς τριακονταπέδω ἐπὶ τὸν ἄντο-*

μον τὸν πρᾶτον, μᾶκος δὲ ἀπὸ τᾶν | ἀπορρᾶν ἄχρι ἐς ποταμόν, καὶ ἐγένοντο μετριώμεναι ἐν ταύται τᾶι μερείαι ἐρρηγείας μὲν διακάτιαι hεβδεμήκοντα τρῖς σχοῖνοι, σκίρω δὲ |
25 καὶ ἀρρήκτω καὶ δρυμῶ πεντακάτιαι σχοῖνοι· || τὰν δὲ τρίταν μερίδα, εὖρος ἀπὸ τῶ ἀντόμω τῶ πράτω τῶ πὰρ τὰν τρι-|ακοντάπεδον ἄγοντος ἐπὶ τὸν ἄντομον τὸν δεύτερον ἀπὸ τᾶς τριακονταπέδω, μᾶκος ἀπὸ τᾶν ἀπορρᾶν ἄχρι ἐς ποταμόν, καὶ ἐγέ|νοντο μετριώμεναι ἐν ταύται τᾶι μερείαι ἐρρηγείας μὲν τριακάτιαι | δέκα δύο σχοῖνοι ἡμίσχοινον, σκίρω δὲ καὶ ἀρρήκτω
30 καὶ δρυμῶ πεντα|κάτιαι τριάκοντα hεπτὰ hημίσχοινον· τὰν δὲ τετάρταν μερίδα, εὖρος ἀπὸ | τῶ ἀντόμω τῶ δευτέρω ἀπὸ τᾶς τριακονταπέδω ἐπὶ τὸν ἄντομον τὸν | ὁρίζοντα τάν τε hιαρὰν καὶ τὰν ϝιδίαν γᾶν, μᾶκος δὲ ἀπὸ τᾶν ἀπορρᾶν | ἄχρι ἐς ποταμόν, καὶ ἐγένοντο μετριώμεναι ἐν ταύται τᾶι μερείαι ἐρρηγείας μὲν τριακάτιαι hοκτὼ σχοῖνοι hημίσχοινον, σκίρω
35 δὲ καὶ ἀρρήκτω || καὶ δρυμῶ πεντακάτιαι τετρώκοντα μία hημίσχοινον. |

Κεφαλὰ πάσας ἐρρηγείας χίλιαι hενενήκοντα πέντε σχοῖνοι, σκίρω δὲ καὶ ἀρρήκτω καὶ δρυμῶ δισχίλιαι διακάτιαι ϝίκατι πέντε· | τὰν δὲ νᾶσον τὰν ποτιγεγενημέναν ἐς τὰν ἄρρηκτον γᾶν συνεμετρήσαμες. ἀπὸ ταύτας τᾶς γᾶς ἀπολώλη ἐρρηγείας
40 μὲν τριακάτιαι || τρῖς σχοῖνοι hημίσχοινον, σκίρω δὲ καὶ ἀρρήκτω καὶ δρυμῶ τετρακόσιαι τριάκοντα πέντε σχοῖνοι, ἐμ μὲν τᾶι πράται μερείαι τᾶι | πὰρ τὰ Ἡρώιδεια ἐρρηγείας μὲν hεβδεμήκοντα ϝὲξ σχοῖνοι, σκί|ρω δὲ καὶ ἀρρήκτω καὶ δρυμῶ hεκατὸν hογδοήκοντα πέντε σχοῖνοι, ἐν δὲ τᾶι τετάρται με-
45 ρείαι τᾶι πὰρ τὰ Φιντία ἐρρηγείας μὲν || διακάτιαι ϝίκατι hεπτὰ σχοῖνοι hημίσχοινον, σκίρω δὲ καὶ ἀρρήκτω καὶ δρυμῶ διακάτιαι πεντήκοντα σχοῖνοι. Κεφαλὰ πάσας γᾶς, hᾶς κατεσώισαμες τῶι Διονύσωι hεπτακάτιαι τριάκοντα hοκτὼ σχοῖνοι hημίσχοινον. ταύταν τὰν γᾶν κατεσώισαμες ἐγδικαξάμενοι
50 δίκας τριακοσιαίας τοῖς τὰν hιαρὰν γᾶν ϝι|δίαν ποϊόντασσιν.

Αὔτα ἐμισθώθη [hα γᾶ] κατὰ βίω, [hόσσα]ν h[α]μὲς κατεσώισαμες, τριακατίων μεδίμνων τὸ ϝέτος hέκαστον, | hα δὲ πᾶσα γᾶ hα τῶ Διονύσω τετρακατίων δέκα μεδίμνων, κάδ διχος τὸ ϝέτος hέκαστον. Ἐστάσαμες δὲ καὶ ὅρως ἐπὶ μὲν τᾶς | πλευριάδος ἄνω· hένα μὲν ἐπὶ τῶ ἀντόμω τῶ πὰρ Πανδο-
55 σίαν || τῶ πὰρ τὰ Ἡρώιδεια τῶ ὁρίζοντος τάν τε hιαρὰν γᾶν καὶ τὰν ϝιδίαν, | ἀγχωρίξαντες ἀπὸ τᾶν ἀπορρᾶν ἐς τὰν ϝιδίαν γᾶν, hως μὴ καταλι|μακωθὴς ἀδηλωθείη καθὼς τοὶ

ἔμπροσθα ὅροι· ἄλλον δὲ ἐπὶ τῶ ἀν|τόμω τῶ πὰρ τὰ Φιντία ἄγοντος ἐστάσαμες πὰρ τὰν βυβλίαν καὶ | τὰν διώρυγα, ἀν-
60 *χωρίξαντες hωσαύτως ἐς τὰν Ϝιδίαν γᾶν ⟨τὰν⟩· ἄλ‖λως δὲ ἀντόρως τούτοις ἐστάσαμες ἐπὶ τᾶς ἁμαξιτᾶ τᾶς διὰ τῶ χα|ράδεος ἀγώσας τᾶς πὰρ τὸν δρυμόν, τὰς μὲν στάλας ἐς τὰν hιαρὰν | γᾶν, τὼς δὲ ἀντόρως ἐς τὰν Ϝιδίαν γᾶν, κατα-λιπόντες Ϝικατίπεδον | ἄντομον. ἐστάσαμες δὲ καὶ μεσσόρως, δύο μὲν ἐπὶ τᾶς hοδῶ τᾶς | ἀγώσας ἔκ τε πόλιος καὶ ἐκ*
65 *Πανδοσίας διὰ τῶν hιαρῶν χώρων, δύο ‖ δὲ ἐν ταῖς hακρο-σκιρίαις· τούτως πάντας ἂν εὐθυωρείαν hομολό|γως ἀλλάλοις, τὼς μὲν ἐς τὸ hιαρὸν πλάγος τῶ ἀντόμω ἐπιγε|γραμμένως „hιαρὼς Διονύσω χώρων“, τὼς δὲ ἐν τᾶι Ϝιδίαι γᾶι ἐπι|γε-γραμμένως „ἀντόρως“. hωσαύτως δὲ καὶ ἐπὶ τῶ ἀντόμω τῶ | πὰρ τὰ Φιντία ἄγοντος ἐστάσαμες μεσσόρως, δύο μὲν ἐπὶ ‖*
70 *τᾶς hοδῶ τᾶς ἐκ πόλιος καὶ ἐκ Πανδοσίας ἀγώσας διὰ τῶν | hιαρῶν χώρων, δύο δὲ ἐπὶ τᾶν hακροσκιριᾶν πὰρ τὰς τυ-ρείας· | τούτως πάντας hομολόγως ἂν εὐθυωρείαν τοῖς ἐπὶ τᾶς hοδῶ | τᾶς διὰ τῶ χαράδεος ἀγώσας πὰρ τὸν δρυμόν. τὼς μὲν ἐς τὸ hιαρὸν | πλάγος ἐπιγεγραμμένως „hιαρὼς Διο-*
75 *νύσω χώρων“, τὼς δὲ ἐς τὰν Ϝιδί‖αν γᾶν ἐπιγεγραμμένως „ἀντόρως“, ἀπέχοντας ἀπ' ἀλλάλων hως ἦ|μεν Ϝικατίπεδον ἄντομον. ἐπὶ δὲ τᾶς τριακονταπέδω τᾶς διὰ τῶν hι|αρῶν χώρων ἀγώσας ἐπὶ μὲν τᾶς πλευριάδος ἄνω δύο ἀπέχοντας ἀπ' ἀλ|λάλων τριάκοντα πόδας. ἄλλως δὲ ἀντόρως τούτοις ἐπάξαμες πὰρ | τὰν hοδὸν τὰν πὰρ τὸν δρυμὸν ἄγωσαν δύο*
80 *ἀπέχοντας ἀπ' ἀλλάλων ‖ τριάκοντα πόδας. ἐν δὲ μέσσωι τῶι χώρωι ἐπὶ τᾶς τριακονταπέδω τέ|τορας ἀπέχοντας ἀπ' ἀλλά-λων hᾶι μὲν τριάκοντα πόδας, hᾶι δὲ Ϝίκα|τι. ἐπὶ δὲ τῶ ἀντόμω τῶ πὰρ τὰν τριακοντάπεδον δύο ἀπέχοντας ἀπ' ἀλ|λάλων Ϝίκατι πόδας, καὶ ἄλλως ἐπὶ τῶ δευτέρω ἀντόμω ἀπέχοντας | ἀπ' ἀλλάλων Ϝίκατι πόδας. τούτως πάντας ἀνε-*
85 *πιγρόφως ὁρίζοντας ‖ τὰς μερείας τὰς ποτ' ἀλλάλως τοῖς μεμισθωμένοις τὼς hιαρὼς χώ|ρως. τὼς δὲ πάντας χώρως τὼς τῶ Διονύσω τερμάζοντι τοί τε ἄντομοι | hό τε πὰρ τὰ Ηηρώιδεια ἄγων καὶ hο πὰρ τὰ Φιντία ἀπὸ τᾶν ἀπορρᾶν ἄνω|θα ἄχρι ἐς ποταμὸν τὸν Ἄκιριν. ἀριθμὸς ὅρων τῶν ἐστάσαμες τῶν μὲν | ἐπὶ τῶ ἀντόμω τῶ πὰρ τὰ Ηηρώιδεια*
90 *hεπτὰ σὺν τῶι ἐπὶ τᾶς πλευριάδος, ‖ ἐπὶ δὲ τᾶς τριακοντα-πέδω hοκτὼ σὺν τῶι τετρώ⟨ι⟩ρωι, ἐπὶ δὲ τῶ ἀντόμω | τῶ τε πὰρ τὰν τριακοντάπεδον καὶ τῶ ἐχομένω δύο ἐφ' ἑκατέρω,*

ἐπὶ δὲ τῶ | πὰρ τὰ Φιντία hεπτὰ σὺν τῶι πὰρ τὰν βυβλίναν μασχάλαν καὶ πὰρ τὰν δι|ώρυγα. |

95 *Συνθήκα Διονύσω χώρων. ||*

Ἐπὶ ἐφόρω Ἀριστίωνος, μηνὸς Ἀπελλαίω, hα πόλις καὶ τοὶ πολιανόμοι ασ βότρυς Τίμαρ|χος Νίκωνος, Ϝε ἄνθεμον Ἀπολλώνιος Ἀπολλωνίω καὶ τοὶ ὀρισταὶ Ϝε τρίπους Φιλώνυ|μος Ζωπυρίσκω, πε καρυκεῖον Ἀπολλώνιος Ηηρακλήτω, αι πέλτα Δάζιμος Πύρρω, | κν θρῖναξ Φιλώτας Ηιστιείω, με ἐπιστύλιον Ηηρακλείδας Ζωπύρω μισθῶντι τὼς hι|αρὼς χώρως τὼς τῶ Διονύσω ἔχοντας hως ἔχοντι κατὰ βίω, καθὰ

100 *τοὶ Ηηρακλεῖοι διέ|γνον.*

Τοὶ δὲ μισθωσάμενοι καρπεύσονται τὸν ἀεὶ χρόνον hᾶς κα πρωγγύως ποτάγων|τι καὶ τὸ μίσθωμα ἀποδιδῶντι πὰρ Ϝέτος ἀεὶ Πανάμω μηνὸς προτερείαι· κ[αὶ] αἴ κ᾽ ἔμπροσθα | ἀποδίνωντι, ἀπάξοντι ἐς τὸν δαμόσιον ῥογὸν καὶ παρμετρήσοντι τοῖς σιταγέρταις τοῖς | ἐπὶ τῶν Ϝετέων τῶι δαμοσίωι χοῒ μεστὼς τὼς χοῦς κριθᾶς κοθαρᾶς δοκίμας, hοίας κα hα γᾶ | φέρει· ποτάξοντι δὲ πρωγγύως τοῖς πολιανόμοις τοῖς

105 *ἀεὶ ἐπὶ τῶν Ϝετέων ἔντασσιν πὰρ || πενταhετηρίδα, hώς κα ἐθέλοντες τοὶ πολιανόμοι δέκωνται. καὶ αἴ τινί κα ἄλλωι | παρδῶντι τὰν γᾶν, hάν κα αὐτοὶ μεμισθώσωνται ἢ ἀρτύσωντι ἢ ἀποδῶνται τὰν ἐ|πικαρπίαν, ἂν αὐτὰ τὰ παρhέξονται πρωγγύως hοι παρλαβόντες ἢ hοῖς κ᾽ ἀρτύσει ἢ hοι πρι|άμενοι τὰν ἐπικαρπίαν, ἂν hὰ καὶ hο ἐξ ἀρχᾶς μεμισθωμένος. hόστις δέ κα μὴ ποτάγει πρωγγύ|ως ἢ μὴ τὸ μίσθωμα ἀποδιδῶι κὰτ τὰ γεγραμμένα, τό τε μίσθωμα διπλεῖ ἀποτείσει τὸ ἐπὶ τῶ*

110 *Ϝέ|τεος καὶ τὸ ἀμπώλημα τοῖς τε πολιανόμοις καὶ τοῖς σιταγέρταις τοῖς ἀεὶ ἐπὶ τῶ Ϝέτεος, hόσσωι κα | μείονος ἀμμισθωθῆ πὰρ πέντε Ϝέτη τὰ πρᾶτα, hότι κα τελέθει ψαφισθὲν hάμα πᾶν τῶι πράτωι | μισθώματι, καὶ τὰ ἐν τᾶι γᾶι πεφυτευμένα καὶ οἰκοδομημένα πάντα τᾶς πόλιος ἔσσονται.*

Ἐργάξον|ται δὲ κὰτ τάδε· hο μὲν τὸν πρᾶτον χῶρον μισθωσάμενος τὸν πὰρ τὸν ἄντομον τὸν hυπὲρ Πανδοσί|ας ἄγοντα τὸν πὰρ τὰ Ηηρώιδα ἄχρι τᾶς τριακονταπέδω ἀμπέλων μὲν

115 *φυτεύσει μὴ μεῖον ἢ δέκα || σχοίνως, ἐλαιᾶν δὲ φυτὰ ἐμβαλεῖ ἐς τὰν σχοῖνον hεκάσταν μὴ μεῖον ἢ τέτορα ἐς τὰν | δυνατὰν γᾶν ἐλαίας ἔχεν· αἰ δέ κα μὴ φᾶντι τοὶ μεμισθωμένοι δυνατὰν ἦμεν ἐλαίας ἔ|χεν, τοὶ πολιανόμοι τοὶ ἀεὶ ἐπὶ τῶν Ϝετέων ἔντες καὶ αἴ τινάς κα ἄλλως τοὶ πολιανόμοι ποθέ|λωνται*

ἀπὸ τῶ δάμω, ὀμόσαντες δοκιμάξοντι καὶ ἀναγγελίοντι ἐν ἀλίαι ϑασάμενοι τὰν | γᾶν πὸτ τὰν τῶν ἐπιχωρίων· ἐπιμελήσονται δὲ καὶ τῶν hυπαρχόντων δενδρέων· αἰ δέ τινά
120 κα ‖ γήραι ἢ ἀνέμωι ἐκπέτωντι, αὐτοὶ hέξοντι. ταῦτα δὲ πάντα πεφυτευμένα παρhέξοντι καὶ ἐνδε|διωκότα, hόσσα ἐν τᾶι συνϑήκαι γεγράψαται, ἐν τῶι πέμπτωι καὶ δεκάτωι Ϝέτει ἀπὸ τῶ ποτεχεῖ Ϝέ|τεος ἢ Ἀριστίων ἐφορεύει· αἰ δέ κα μὴ πεφυτεύκωντι κὰτ τὰ γεγραμμένα κατεδικάσϑεν πὰρ μὲν τὰν | ἐλαίαν δέκα νόμως ἀργυρίω πὰρ τὸ φυτὸν hέκαστον, πὰρ δὲ τὰς ἀμπέλως δύο μνᾶς ἀργυρίω πὰρ τὰν | σχοῖνον hεκάσταν. τὼς δὲ πολιανόμως τὼς ἐπὶ τῶ Ϝέτεος
125 ποϑελομένως μετ' αὐτὸς αὐτῶν ἀπὸ τῶ ‖ δάμω μὴ μεῖον ἢ δέκα ἄνδρας ἀμφίστασϑαι ἤ κα πεφυτεύκωντι πάντα κὰτ τὰν συνϑήκαν | καὶ τὼς πεφυτευκότας ἀνγράψαι ἐς δόγμα· ἀνγράφεν δὲ hόσσα κα πεφυτεύκωντι· ἂν αὐτὰ δὲ τὰ | καὶ εἴ τινές κα μὴ πεφυτεύκωντι κὰτ τὰν συνϑήκαν, ἀνγραψάντω καὶ ἐπελάσϑω τὰ ἐπιζάμι|α τὰ γεγραμμένα πὸτ τῶι ἄλλωι μισϑώματι.

Αἰ δέ τίς κα ἐπιβῆι ἢ νέμει ἢ φέρει τι τῶν ἐν τᾶι hιαρᾶι | γᾶι ἢ τῶν δενδρέων τι κόπτηι ἢ ϑραύηι ἢ πριῶι ἢ ἄλλο τι
130 σίνηται, hο μεμισϑωμένος ἐγδικαξῆ‖ται hως πολίστων, καὶ hότι κα λάβει, αὐτὸς hέξει.

Τὰς δὲ τράφως τὰς διὰ τῶν χώρων ῥεώσας καὶ | τὼς ῥόως οὐ κατασκάψοντι οὐδὲ διασκάψοντι τῶι hύδατι οὐδὲ ἐφέρξοντι τὸ hύδωρ οὐδ' ἀφέρξον|τι· ἀνκοϑαρίοντι δὲ hοσσάκις κα δέωνται τὰ πὰρ τὰ αὐτῶν χωρία ῥέοντα· οὐδὲ τὰς hοδὼς τὰς ἀπο-| δεδειγμένας ἀράσοντι οὐδὲ συνhέρξοντι οὐδὲ κωλύσοντι πορεύεσϑαι· hότι δέ κα τούτων τι ποΐ|ωντι πὰρ τὰν συνϑήκαν, τοὶ πολιανόμοι τοὶ ἀὲς ἐπὶ τῶ Ϝέτεος ἐπικαταβα[λί]οντι καὶ
135 ζαμιώσοντι ‖ ἄχρι hῶ κα ἀφομοιώσωντι κὰτ τὰν συνϑήκαν. οὐ κόψει δὲ τῶν δενδρέων οὐδὲ ϑραύσει οὐδὲ πριώσει | οὐδὲ hῆς οὐδὲ hὲν οὐδὲ ἄλλος τήνωι. οὐδὲ γαιῶνας ϑήσει πὰρ τὼς hυπάρχοντας οὐδὲ σαρμεύσει, | αἰ μὴ hόσσα κα ἐν αὐτᾶι τᾶι γᾶι, hᾶι μεμίσϑωται, οἰκοδομῆται. οὐδὲ τοφιῶνας ἐν τᾶι hιαρᾶι γᾶι ποιήσει | οὐδὲ ἄλλον ἐάσει· αἰ δὲ μή, hυπόλογος ἐσσῆται hως τὰν hιαρὰν γᾶν ἀδικίων. οἰκοδομησῆται δὲ καὶ οἰκίαν ἐν τοῖς χώροις τούτοις, βοῶνα, μυχόν, ἀχύριον,
140 τὸν μὲν βοῶνα τὸ μὲν μᾶκος Ϝίκατι καὶ δυῶν πο|δῶν, τὸ δὲ εὖρος hοκτὼ καὶ δέκα ποδῶν, τὸν δὲ ἀχύριον μὴ μεῖον τὸ μὲν μᾶκος hοκτὼ καὶ δέκα ποδῶν, | τὸ δὲ εὖρος πέντε καὶ

δέκα ποδῶν, τὸν δὲ μυχὸν πέντε καὶ δέκα ποδῶν παντᾶι. ταῦτα δὲ παρέξοντι οἰκο δομημένα καὶ στεγόμενα καὶ τεθυρωμένα ἐν τοῖς χρόνοις, ἐν hοῖς καὶ τὰ δένδρεα δεῖ πεφυτευκῆμεν· αἰ | δὲ μή, κατεδικάσθεν πὰρ μὲν τὸν βοῶνα Ϝὲξ μνᾶς ἀργυρίω, πὰρ δὲ τὸν ἀχύριον τέτορας μνᾶς ἀργυρίω, | πὰρ δὲ τὸν μυχὸν τρῖς μνᾶς ἀργυρίω. τῶν δὲ ξύλων τῶν ἐν

145 τοῖς δρυμοῖς οὐδὲ τῶν ἐν τοῖς σκίροις οὐ πωλήσοντι οὐδὲ κόψοντι οὐδὲ ἐμπρήσοντι οὐδὲ ἄλλον ἐάσοντι· αἰ δὲ μή, hυπόλογοι ἔσσονται κὰτ τὰς ῥήτρας | καὶ κὰτ τὰν συνθήκαν. ἐς δὲ τὰ ἐποίκια χρήσονται ξύλοις ἐς τὰν οἰκοδομάν, οἷς κα δήλωνται, καὶ ἐς τὰς | ἀμπέλως. τῶν δὲ ξηρῶν κόψοντι hόσσα αὐτοῖς ποτ' οἰκίαν ἐς χρείαν· τοῖς δὲ σκίροις καὶ τοῖς δρυμοῖς χρή|σονται τοὶ μισθωσάμενοι ἂν τὰν αὐτῶν μερίδα hέκαστος. hόσσαι δέ κα τᾶν ἀμπέλων ἢ τῶν δενδρέων ἀπο γηράσωντι, ἀποκαταστάσοντι τοὶ καρπιζόμενοι, hως ἦμεν τὸν ἴσον ἀριθμὸν ἀεί.

150 Οὐχ ὑπογράψονται ‖ δὲ τὼς χώρως τούτως hοι μισθωσάμενοι οὐδὲ τίμαμα hοίσοντι οὔτε τῶν χώρων οὔτε τᾶς ἐπιοικοδο-| μᾶς· αἰ δὲ μή, hυπόλογος ἐσσῆται κὰτ τὰς ῥήτρας. αἰ δέ τίς κα τῶν καρπιζομένων ἄτεκνος ἄφωνος ἀπο θάνει, τᾶς πόλιος πᾶσαν τὰν ἐπικαρπίαν ἦμεν. αἰ δέ χ' ὑπὸ πολέμω ἐγϜηληθίωντι, hώστε μὴ ἐξῆμεν | τὼς μεμισθωμένως καρπεύεσθαι, ἀνhεῖσθαι τὰν μίσθωσιν, καθά κα τοὶ Ἡρακλεῖοι διαγνῶντι, καὶ μὴ | ἦμεν hυπολόγως μήτε αὐτὼς μήτε τὼς πρωγγύως τῶν ἐν τᾶι συνθήκαι γεγραμμένων. τὼς δὲ πρωγ-

155 γύως τὼς ἀεὶ γενομένως πεπρωγγυευκῆμεν τῶν τε μισθωμάτων καὶ τῶν ἐπιζαμιωμάτων καὶ τῶν ἀμ|πωλημάτων καὶ τᾶν καταδικᾶν καὶ αὐτὼς καὶ τὰ χρήματα, hά κα ἐπιμαρτυρήσωντι, καὶ μὴ ἦμεν μήτε hάρ|νησιν μήτε παλινδικίαν μηδὲ κατ' ἄλλον μηδὲ hένα τρόπον τᾶι πόλι πράγματα παρέχεν μηδὲ τοῖς hυ|πὲρ τᾶς πόλιος πρασσόντασσι· αἰ δὲ μή, ἀτελὲς ἦμεν.

Δεύτερος· hο δὲ τὸν δεύτερον μισθωσάμενος | καρπευσῆται ἀπὸ τᾶς τριακονταπέδω τᾶς διὰ τῶν τετρώρων ἀγώσας ἐπὶ

160 τὸν ἄντομον τὸν πρᾶτον, hόσ|σος κ' εἶ, καὶ πράξει πάντα καὶ τὰν συνθήκαν καὶ hυπόλογος ἐσσῆται καὶ αὐτὸς καὶ τοὶ πρώγγυοι, hότι κα | μὴ πράξει κὰτ τὰν συνθήκαν.

Τρίτος· hο δὲ τὸν τρίτον χῶρον μισθωσάμενος καρπευσῆται ἀπὸ τῶ ἀντόμω τῶ ἀνώτερον τᾶς τριακονταπέδω ποτ τὸν ἄντομον τὸν δεύτερον ἀπὸ τᾶς τριακονταπέδω καὶ | πράξει

πάντα κὰτ τὰν συνθήκαν καὶ hυπόλογος ἐσσῆται καὶ αὐτὸς καὶ τοὶ πρώγγυοι hότι κα μὴ πρά|ξει κὰτ τὰν συνθήκαν.

Τέταρτος· hο δὲ τὸν τέταρτον χῶρον μισθωσάμενος πάρ τε

165 *τῶν πολιανό‖μων τῶν ἐπὶ Ἀριστίωνος ἐφόρω καὶ τῶν ὀριστᾶν καὶ πὰρ τῶν πολιανόμων τῶν ἐπὶ Ἀριστάρχω τῶ Ηηρα|κλείδα ἐφόρω hα ἄνθεμα Φιλωνύμω τᾶ Φιλωνύμω, hα ἔμβολος Ηηρακλείδα τῶ Τιμοκράτιος καρπευ|σῆται ἀπὸ τῶ ἀντόμω τῶ τρίτω ἀπὸ τᾶς τριακονταπέδω ἐπὶ τὸν ἄντομον τὸν ὁρίζοντα τώς τε τῶ Διο|νύσω χώρως καὶ τὰ Φιντίας hο Κρατίνω παμωχεῖ. hο δὲ ἀνhελόμενος ἐργαξῆται τὰ μὲν ἄλλα κὰτ τὰν | συνθήκαν, καθὼς καὶ τὼς λοιπὼς γέγραπται, τὰς δὲ*

170 *ἀμπέλως τὰς hυπαρχώσας ἐργαξῆται hως βέλτι‖στα· hόσσαι δέ κα τᾶν ἀμπέλων ἀπογηράσκωντι, ποτιφυτεύσει, hώστε ἀεὶ hυπάρχεν τὸν ἴσον ἀριθμὸν τᾶν | σχοίνων τὸν νῦν hυπάρχοντα, Ϝίκατι τέτορας σχοίνως· αἰ δὲ μή, προκαδδεδικάσθω δύο μνᾶς ἀργυρίω | πὰρ τὰν σχοῖνον hεκάσταν· τὰς δὲ ἐλαίας καὶ τὰς συκίας καὶ τὰ ἄλλα δένδρεα τὰ hήμερα τὰ hυπάρχον|τα πάντα ἐν τᾶι μερίδι ταύται περισκάψει καὶ ποτισκάψει καὶ περικόψει τὰ δεόμενα, καὶ αἴ τινά κα γήραι ἢ | ἀνέμωι ἐκπέτωντι, ἀποκαταστάσει μὴ μείω τὸν ἀριθμὸν τῶν*

175 *hυπαρχόντων· ποτιφυτεύσει δὲ καὶ ἐλαίας ‖ ἐν τᾶι ψιλᾶι hομολόγως ποΐων τοῖς hυπαρχόντασσι δενδρέοις καὶ τὸν ἀριθμὸν τὸν hίσον, καθὼς καὶ ἐν τᾶι | ἄλλαι συνθήκαι γέγραπται. hότι δέ κα μὴ πράξει hο ἀνhελόμενος κὰτ τὰν συνθήκαν ἢ μὴ ἐν τοῖς χρό|νοις τοῖς γεγραμμένοις, hυπόλογος ἐσσῆται τοῖς πολιανόμοις καὶ τοῖς σιταγέρταις τοῖς ἐπὶ τῶ [Ϝ]έτεος, | καθὼς καὶ ἐν τᾶι ἄλλαι συνθήκαι γέγραπται.*

Αἰ δέ κα τοὶ πολιανόμοι τοὶ ἀεὶ ἐπὶ τῶν Ϝετέων ἔντες μὴ πρά|ξωντι πάντα κὰτ τὰν συνθήκαν, αὐτοὶ hυπόλογοι ἔσσονται κὰτ τὰν συνθήκαν.

180 *Ἐπὶ τούτοις ἐμισθώσαν‖το τὰν μὲν πράταν μίσθωσιν ἀπὸ τῶν τῶ Ηηρώιδα με κιβώτιον Βορμίων Φιλώτα πεντήκοντα hεπτὰ μεδί|μνων, κάδδιχος· πρώγγυος τῶ σώματος με κιβώτιον Ἀρκὰς Φιλώτα. τὰν δὲ δευτέραν μίσθωσιν hα | ἔμβολος Δάμαρχος Φιλωνύμω τετρώκοντα μεδίμνων· πρώγγυος τῶ σώματος .... Θεόδωρος Θε|οδώρω. τὰν δὲ τρίταν μίσθωσιν Ϝε γυῖον Πεισίας Λεοντίσκω τριάκοντα πέντε μεδίμνων· πρώγγυος | τῶ σώματος κν σφαιρωτῆρες Ἀριστόδαμος ......*

185 *τὰν δὲ τετάρταν μίσθωσιν αλ λωτήριον ‖ Φίλιππος Φιλίππω*

διακατίων hεβδεμήκοντα hοκτὼ μεδίμνων· πρώγγυος τῶ σώματος πε καρυκεῖον | Ἀπολλώνιος Ηρακλήτω. |
Γραμματεὺς Ϝε γυῖον Ἀριστόδαμος Συμμάχω.
Γαμέτρας Χαιρέας Δάμωνος Νεαπολίτας. |

II.

Ἔφορος Δάζιμος· hα πόλις | καὶ τοὶ ὁρισταὶ Ϝε τρίπους Φιλώ|νυμος Ζωπυρίσκω, πε καρυκεῖον | Ἀπολλώνιος Ηρα-
5 κλήτω, αι πέλ||τα Δάζιμος Πύρρω Ἀθάναι Πολιάδι. |
Ἀνέγραψαν τοὶ ὁρισταὶ τοὶ hαιρεθέντες ἐπὶ τὼς χώρως τὼς hια|ρὼς τὼς τᾶς Ἀθάνας τὼς ἐν Κοίλαι Φιλώνυμος Ζωπυρίσκω, Ἀπολ λώνιος Ηρακλήτω, Δάζιμος Πύρρω, καθὰ ὤριξαν καὶ συνεμέ τρησαν καὶ ἐτέρμαξαν καὶ ἐμέριξαν τῶν
10 Ηρακλείων δια||γνόντων ἐν κατακλήτωι ἁλίαι.
Συνεμετρήσαμες δὲ ἀρξάμενοι | ἀπὸ τῶ ἀντόμω τῶ ἀπὸ Καινᾶν ἄγοντος ἐπὶ τὰν hοδὸν τὰν τρι ακοντάπεδον τὰν ἐπὶ θάλασσαν ἄγωσαν, καὶ ἐγένοντο ἀπὸ | τῶ ἀντόμω ποτὶ τὰν βουβῆτιν τὰν διὰ τῶν γυᾶν ἐκ πόλιος ῥέω σαν hεπτὰ γύαι,
15 ἀπὸ δὲ τᾶς βουβήτιος ἐπὶ τὰν τριακοντάπεδον || τρεῖς καὶ δέκα γύαι· ἀπὸ δὲ τᾶς τριακονταπέδω ἐπὶ τὰν τριακοντάπεδον τὰν διὰ τῶν τριhημιγύων ἄγωσαν, καὶ ἐγένοντο | hεννέα τριhημίγυα. Διαβάντες δὲ τὰν τριακοντάπεδον ἐμε τρίωμες ποτὶ τὸν Ϝικατίδειον καὶ ἀπεμετρήσαμες τὸ δέκατον τριhη-
20 μίγυον. τὰ δὲ τρίγυα οὐκ ἐξεπόϊον, καθὼς τὸ ἀρχαῖον || hευρίσκομες γεγενημένα, ἀλλὰ πενθημίγυον μόνον κα|τελείπετο ἐκ τῶν δυῶν τριγύων· τὰν δὲ λοιπὰν γᾶν Ϝιδίαν | τινὲς ἐπεποίηντο· ταύταν ἀπ[ο]κατεστάσαμες τᾶι Ἀθάναι | κὰτ τὰ ἀρχαῖα. ἀπὸ δὲ τῶ Ϝικατιδείω τὰν ἐς ποταμὸν τὸν Ἄκιριν |
25 γᾶν ποτιγενομέναν τὰν ἐμ μέσσωι τᾶς τε hεκατομπέδω || καὶ τᾶς Ηρακλείας hοδῶ, καὶ ταύταν πᾶσαν Ϝιδίαν ἐπεποίηντό | τινες· καὶ τοὶ μὲν ἐρίξαντες ἀπέσταν, τοῖς δὲ ἐδικαξάμεθα δίκας | τριακοσταίας καὶ ἀποκαταστάσαντες τᾶι θεῶι κὰτ τὰ ἀρχαῖα ταύταν τὰν γᾶν κατεδασσάμεθα καὶ ὅρως ἐπάξαμες ἐφ' ἑκάστας τᾶς | μερίδος καὶ ἐποιήσαμες πὰρ τὸ τριhημίγυον
30 τὸ δέκατον πρᾶτον τρί||γυον, ποτθέντες πὸτ τὸ πενθημίγυον, ἀφ' ἇς κατεσώιξαμες γᾶς hωσ τ' ἦμεν ἔκπλεον εὖρος τρίγυον, μᾶκος ἀπὸ τᾶς hεκατομπέδω ἄχρι πὸτ | τὰν Ηρακλέαν hοδὸν ἂν τῶς ὅρως, καὶ ἐγένοντο σχοῖνοι hεκατὸν τρι|άκοντα hοκτώ, ὀρέγματα hοκτώ, ψιλᾶς μὲν hεκατὸν τριάκοντα τρῖς, ὀρέγματα Ϝίκατι | Ϝέξ, πούς, ἀμπέλων δὲ τέτορες σχοῖνοι,

35 *ὀρέγματα δέκα hέν, πόδες ‖ τρῖς. hαύτα hα γᾶ ἐμισθώθη τὰν πράταν πενταhετηρίδα διακοσίων | Ϝεξήκοντα hεννέα μεδίμνων, χοός, δυῶν χοινίκων. ἀπὸ δὲ τούτω τῶ | ⟨τῶ⟩ τριγύω ἐμετρήσαμες πὸτ τὸ(ν) Ϝικατίδειον δεύτερον τρίγυνον εὖ|ρος ἂν τὼς ὅρως, μᾶκος ἀπὸ τᾶς hεκατομπέδω ποτὶ τὰν Ηηρακλείαν | hοδόν, καὶ ἐγένοντο σχοῖνοι hεκατὸν τριάκοντα*

40 *hεννέα, ψιλᾶς μὲν hε‖κατὸν Ϝίκατι τρῖς σχοῖνοι, ἀμπέλων δὲ δέκα Ϝὲξ σχοῖνοι. τοῦτο τὸ τρί γυον ἐμισθώθη Ϝεξακατίων hενενήκοντα πέντε μεδίμνων. | διαβάντες δὲ τὸν Ϝικατίδειον ἐποιήσαμες πράταν μερίδα πὰρ hεκ[α]|τόνπεδον, ἐν hᾶι hα ἀμπελωργικά, καὶ ἐτάμομες κοινὰν πόθοδον ἐκ τῶ | Ϝικατιδείω πὸτ τὰν οἰκίαν Ϝικατίπεδον καὶ ἀπὸ τᾶς οἰκίας πὰρ*

45 *τὰς ἀμ‖πέλως ἄχρι ἐς ποταμὸν hοκτάπεδον. καὶ ἐμετρίωμες ἀπὸ τῶ Ϝικατιδείω | τὸ πὸτ Ἄκιριν ἐπὶ τὰν διαστολὰν τὰν πλαγίαν τὰν ἀπὸ τᾶς ποθόδω τᾶς κοι|νᾶς ἀγώσας ἐς τὰν hεκατόνπεδον, καὶ ἐγένοντο πεντήκοντα hεννέα σχοῖ|νοι hημίσχοινον, ψιλᾶς μὲν πεντήκοντα μία, ὀρέγματα hεπτά, ἀμπέλων δ[ὲ] | hοκτὼ σχοῖνοι, ὀρέγματα hοκτώ. αὗτα ἐμισθώθη*

50 *τετρακατίων τεσσαρά[κον]‖τα Ϝὲξ μεδίμνων, καδδίχων τεσσάρων. δευτέρα μερίς, ἐν hᾶι hα οἰκία [ἐ]|στί, μᾶκος ἀπὸ τῶ Ϝικατιδείω ἐπὶ τὰν τράφον τὰν πὰρ ποταμόν, εὖρος ἀπὸ τῶν ὅ|ρων καὶ τᾶς ποθόδω τᾶς hοκταπέδω τᾶς ἐς ποταμὸν ἀγώσας ἐπί τὼς ὅρως, | καὶ ἐγένοντο Ϝεξήκοντα τρεῖς σχοῖνοι, ὀρέγματα δέκα δύο. ταύται τᾶι μερίδ[ι] | ποτεδασσάμεθα*

55 *ἀμπέλων τὰν πράταν διαστολὰν τὰν πὰρ τὰν hεκατόνπε‖δον, hοκτὼ σχοίνως, ὀρέγματα Ϝείκατι Ϝέξ, πόδας δύο, καὶ ἐγένετο hα πᾶσα μερὶς | hεβδεμήκοντα δύο σχοῖνοι, ὀρέγματα hοκτώ, πόδες δύο. hαύτα ἐμισθώθη Ϝεξα|κατίων τριάκοντα δυῶν μεδίμνων, χοός. τρίτα μερὶς μᾶκος ἀπὸ τῶ Ϝεικατι-| δείω ἐπὶ τὰν τράφον τὰν πὰρ ποταμόν, εὖρος ἀπὸ τῶν ὅρων τῶν τᾶς δευτέρας | μερίδος ἐπὶ τὼς ὅρως, καὶ ἐγένοντο*

60 *ψιλᾶς μὲν Ϝεξήκοντα Ϝὲξ σχοῖνοι hημίσχοι‖νον. ταύται τᾶι μερίδι ποτεδασσάμεθα ἀμπέλων τὰν δευτέραν διαστολὰν ἀφ' ἑκατονπέδω hεπτὰ σχοίνως, ὀρέγματα δέκα hεπτά, καὶ ἐγένετο hα πᾶσα μερὶς hεβδε|μήκοντα τέτορες σχοῖνοι, ὀρέγματα δύο. hαύτα ἐμισθώθη Ϝεξακατίων τριάκοντα | μεδίμνων, δυῶν καδδίχων, χοινίκων δυῶν. τετάρτα μερὶς μᾶκος ἀπὸ τῶ Ϝι|κατιδείω ἐπὶ τὰν τράφον τὰν πὰρ ποταμόν, εὖρος*

65 *ἀπὸ τῶν ὅρων τῶν τᾶς τρί‖τας μερίδος ἐπὶ τὼς ὅρως καὶ ἐπὶ τὸν ἄντομον τὸν διατάμνοντα τὼς χώρως, τὸν | ἐτάμομες*

ἐκ τῶ ϝικατιδείω ἐς ποταμὸν κοινὸν πᾶσι χρῆσθαι τοῖς τὼς hιαρὼς χώ|ρως μεμισθωμένοις, καὶ ἐγένοντο ψιλᾶς μὲν ϝεξή-κοντα hοκτὼ σχοῖνοι, ὀρέγμα|τα δέκα τρία. ταύται τᾶι μερίδι ποτεδασσάμεθα ἀμπέλων τὰν τρίταν διαστολὰν | ἀφ' ἑκατομπέδω τὰν ποτικλαίγωσαν πὸτ τὰν πόθοδον τὰν hοκτάπεδον
70 δέκα πέντε ‖ σχοίνως, ὀρέγματα hεπτά· ἐγένετο hα πᾶσα μερὶς hογδοήκοντα τρεῖς σχοῖνοι, ὀρέγμα|τα ϝείκατι. hαύτα ἐμισθώθη ϝεξακατίων τριάκοντα μεδίμνων. ἀπὶ δὲ τῶ | ἀντόμω τῶ διατάμνοντος τὼς χώρως τῶ ἐς ποταμὸν ἄγοντος τῶ ϝι|κατιπέδω ἐμετρίωμες μᾶκος μὲν ἐπὶ τὰν Ηηρακλείαν, εὖρος δὲ ἀπὸ | τῶ ϝικατιδείω ἐπὶ τὼς ὅρως τὼς πράτως
75 καὶ κατελίπομες ‖ πόθοδον ἐκ τῶ ϝεικατιδείω ποτὶ τὰν οἰκίαν ϝεικατίπεδον, καὶ ἐγένετο | hα μερὶς hαύτα ψιλᾶς ϝεξήκοντα δύο σχοῖνοι. ταύται τᾶι μερίδι ποτεδασ|σάμεθα ἀμπέλων τὰν πράταν στάσιν τὰν πὸτ τὸν ϝικατίδειον ϝὲξ σχοί|νως hημίσχοινον, καὶ ἐγένετο hα πᾶσα μερὶς ϝεξήκοντα hοκτὼ σχοῖνοι hημί|σχοινον. hαύτα ἐμισθώθη hοκτακατίων
80 πεντήκοντα ϝὲξ μεδίμνων, καδδί‖χων τετόρων. δευτέρα μερὶς ἀπὸ τῶ ϝικατιδείω, ἐν hᾶι hα οἰκία ἐστί, | ἀπὸ τῶ ἀντόμω τῶ ἐς ποταμὸν ἄγοντος μᾶκος ἐπὶ τὰν Ηηρακλείαν, εὖ|ρος ἀπὸ τῶν ὅρων ἐπὶ τὼς ὅρως, καὶ ἐγένετο ψιλᾶς πεντήκοντα hεννέα | σχοῖνοι hημίσχοινον. ταύται τᾶι μερίδι ποτεδασσάμεθα ἀμπέλων | τὰν δευτέραν στάσιν ἀπὸ ϝικατιδείω ϝὲξ
85 σχοίνως hημίσχοινον, καὶ ἐγένετο hα πᾶσα μερὶς ϝεξήκοντα ϝὲξ σχοῖνοι. hαύτα ἐμισθώθη τετρα|κατίων πεντήκοντα hοκτὼ μεδίμνων, καδδίχων δέκα τετόρων, δυῶν χοινίκων. τρίτα μερὶς ἀπὸ τῶ ϝικατιδείω πὸτ τὰς ἀμπέλως ἀπὸ τῶ | ἀντόμω τῶ ἐς ποταμὸν ἄγοντος μᾶκος ἐπὶ τὰν Ηηρακλείαν, εὖρος ἀπὸ τῶν ὅρων ἐπὶ τὼς ὅρως, καὶ ἐγένετο ψιλᾶς
90 ϝεξήκοντα τρῖς σχοῖνοι hη‖μίσχοινον. ταύται τᾶι μερίδι ποτεδασσάμεθα ἀμπέλων τὰν τρίταν | στάσιν ἀπὸ ϝικατιδείω ϝὲξ σχοίνως hημίσχοινον, καὶ ἐγένετο hα πᾶσα με-|ρὶς hεβδεμήκοντα σχοῖνοι. hαύτα ἐμισθώθη τριακατίων ϝὲξ μεδίμνων, καδ|δίχων τετόρων. τετάρτα μερὶς ἀπὸ ϝικατιδείω μᾶκος μὲν ἀπὸ τῶ ἀντόμω | τῶ ἐς ποταμὸν ἄγοντος
95 ποτὶ τὰν πόθοδον τὰν πὰρ τὰς ἀμπέλως ἄγωσαν, ‖ εὖρος ἀπὸ τῶν ὅρων ἐπὶ τὼς ὅρως, καὶ ἐγένετο ψιλᾶς τετρώκοντα hοκτὼ | σχοῖνοι. ταύται τᾶι μερίδι ποτεδασσάμεθα ἀμπέλων τὰν τετάρταν στάσιν ἀπὸ ϝικατιδείω ϝὲξ σχοίνως hημίσχοινον, καὶ ἐγένετο hα πᾶσα μερὶς πεντήκοντα τέτορες σχοῖνοι

hημίσχοινον. hαὖτα ἐμισθώθη διακατίων τριάκον|τα πέντε
100 μεδίμνων, καδδίχων δέκα πέντε. πέμπτα μερὶς ἀπὸ Ϝικατι||-
δείω μᾶκος ἀπὸ τῶ ἀντόμω τῶ ἐς ποταμὸν ἄγοντος ποτὶ
τὰν πόθοδον τὰν | πὰρ τὰς ἀμπέλως ἄγωσαν, εὖρος ἀπὸ
τῶν ὅρων ἐπὶ τὰν νᾶσον, καὶ ἐγέ|νετο ψιλᾶς Ϝεξήκοντα τέ-
τορες σχοῖνοι. ταύται τᾶι μερίδι ποτεδασ|σάμεθα ἀμπέλων
τὰν πέμπταν στάσιν ἀπὸ Ϝικατιδείω hεπτὰ σχοί|νως, ὀρέγ-
ματα δέκα hεπτά, πόδας δύο, καὶ ἐγένετο hα πᾶσα μερὶς
105 hεβδε||μήκοντα μία σχοῖνοι, ὀρέγματα (δέκα) hεπτά, πόδες
δύο. hαὖτα ἐμισθώθη πεντα|κατίων hογδοήκοντα μεδίμνων,
καδδίχων δέκα πέντε. Ϝέκτα μερὶς | τὸ ἔγγωνον τὸ πὰρ τὰς
ἀμπέλως τὸ ποτίκλαιγον πὸτ τὰν Ἡρακλείαν κα[ὶ] | πὸτ τὸν
ποταμόν, καὶ ἐγένετο ψιλᾶς τριάκοντα σχοῖνοι. ταύται (τᾶι)
μερίδι πο|τεδασσάμεθα ἀμπέλων hοκτὼ σχοίνως hημίσχοινον
110 τὰς ἐχομένας τῶ || χωρί[ω, καὶ ἐγέν]ετο [hα] πᾶσα μερὶς
τριάκοντα hοκτὼ σχοῖνοι hημίσχοινο[ν]. | [αὖτα ἐμισθώθη
.... hεν]ὸς με[δίμνων] ....

I. Z. 10 Ε[Ι]ΞΑΝ *Maittaire*, ΞΙΞΑΝ *Mommsen*, //ΙΞΑΝ *Kaibel* (nach dem Papierabklatsch), d. i. *εἶξαν* „wichen" mit der Begrenzung in das Privatland zurück, rückten die Grenzen nach dem Privatlande zurück, dem Resultate nach gleich *ὥριξαν* (vgl. II 8), was von den Herausgebern seit *Franz* dafür eingesetzt worden ist; der Standpunkt bei der Begrenzung ist ausserhalb der Grenze, und so wird die Erweiterung des heiligen Landes nicht bezeichnet als ein Vorrücken der Grenzen, sondern als ein Zurückweichen mit den Grenzsteinen, ähnlich I 54: *ἐστάσαμες δὲ καὶ ὅρως ἐπὶ μὲν τᾶς πλευριάδος ἄνω, ἕνα μὲν ἐπὶ τῶ ἀντόμω τῶ πὰρ Πανδοσίαν . . ἀνχωρίξαντες ἀπὸ τᾶν ἀπορoᾶν ἐς τὰν Ϝιδίαν γᾶν.* 57: *ἄλλον δὲ ἐπὶ τῶ ἀντόμω τῶ πὰρ τὰ Φιντία ἄγοντος . . ἀνχωρίξαντες hωσαύτως ἐς τὰν Ϝιδίαν γᾶν.* — 11 *διακνόντων* „orthographischer Fehler" (vgl. II 9 *διαγνόντων*), vielleicht hervorgerufen durch den Unterschied der Aussprache von *-γν-* in *διαγνόντων* und in *γίγνομαι* = *γίνομαι.* — 14 *ἐπαμώχη*, vgl. *Hesych*: *παμῶχος· ὁ κύριος. Ἰταλοί; παμωχίων· κεκτημένος.* — 50 Nach *ἐμι-* ist der Bruch, der früher das „fragmentum Brittanicum" von der ersten Tafel trennte; die nächsten Zeichen *-σθώθη,* die *Mazocchi* gelesen hat, „in ectypo non apparent" (*Kaibel*); die folgenden Zeichen [ʼΑΛΓ] hat *Mommsen* erkannt; zwischen *κατὰ βίω* und den am Schluss der Zeile sichtbaren Zeichen ΝΗ// sind fünf bis sechs Buchstaben verschwunden; [*hόσσα*]*ν* hat *Kaibel* ergänzt. — 54 *πὰρ Πανδοσίαν* „an Pandosia vorbei", wechselnd mit *hυπὲρ Πανδοσίας* Z. 12, 113 „oberhalb von Pandosia". — 56 *καταλυμακωθής* „von Steinen überschüttet", die die *ἀπορoαί* mit sich führten, vgl. *Hesych*: *λύμακες· πέτραι.* — 58 *τὰν βυβλίαν* = *τὰν βυβλίναν μασχάλαν* Z. 92. — 59 ΕΣΤΑΝΓΙΔΙΑΝΓΑΝΤΑΝ. — 63 Bei *Kaibel* falsch ΤΑΣΟΔΩ statt ΤΑΣΗΟΔΩ. — 86 *τοί τε ἄντομοι*: *Kaibel* streicht *τε;* möglicherweise

nannte die Vorlage des Graveurs auch die nördliche und südliche Begrenzung und lautete etwa so: *τὼς δὲ πάντας χώρως τὼς τῶ Διονύσω τερμάζοντι τοί τε ἄντομοι hό τε πὰρ τὰ Ηηρώιδεια ἄγων καὶ hο πὰρ τὰ Φιντία ἀπὸ τᾶν ἀπορρᾶν ἄνωθα ἄχρι ἐς ποταμὸν τὸν Ἄκιριν* (*καὶ ταὶ ἀπορροαὶ καὶ ποταμὸς hο Ἄκιρις*). — 90 ΤΕΤΡΩΙΡΩΙ, vgl. *τετρώρων* Z. 159. — 101 *Πανάμω μηνὸς προτερείαι* d. i. pridie Kalendas Panami (= att. *Βοηδρομ.*), vgl. *Bischoff*, Leipziger Studien X, 307. — 101 ΚΑΙΚΕΜΠΡΟΣΘΑ: *M.* in *Curt.* Stud. — 102 *ῥογός* „Scheuer, Getreidemagazin" (als sicilisch aus *Epicharm* bei *Pollux* 11, 45; auch bei *Hesych* s. v. *ῥογοί*) vgl. lat. *rogus* „Scheiterhaufen"; got. *rikan* „anhäufen" u. a. bei *Prellwitz*, Etym. Wörterbuch p. 275, also, wie schon richtig *Foy* (BB. XIV, 41 ff.) ausführte, kein Lehnwort aus dem Lateinischen. — 106 *ἀρτύσωντι*, 107 *ἀρτύσει* „testamentarisch vermachen" (vgl. *Hesych*: *ἄρτυμα· διαθήκη; ἀρτῦναι· διαθεῖναι*), wie zuerst die Herausgeber des Recueil erklärt haben. — 107 *ἂν αὐτὰ τά*, vgl. 126 *ἂν αὐτὰ δὲ τά*. — 110 *τὸ ἀμπώλημα* „die Wiederverpachtung", genauer: die Differenz des alten und des bei der Wiederverpachtung erzielten voraussichtlich niedrigeren Pachtzinses, für die ersten fünf Jahre der neuen Pachtung berechnet und im Voraus zu zahlen, zugleich mit dem doppelten Zins für das laufende Jahr. Diese zuerst von *Wilamowitz* (bei *Kaibel*) gegebene Erklärung wird als richtig erwiesen durch die analoge Bestimmung in den delischen Pachturkunden (Bull. de corr. XIV, 432 Anm. 3): *ἀνεμισθώσαμεν δὲ καὶ τῆς Χαρητείας τὸ μέρος, ὃ ἐμεμίσθωτο Μνησίμαχος, οὐ καθιστάντος τοὺς ἐγγύους Μνησιμάχου, καὶ ἐμισθώσατο Ξενοκράτης Ἱερομβρότου δραχμῶν* ΗΗ𐅄ΔΔΔ⊢· *τὸ δὲ λοιπόν, ὅσωι ἔλαττον ηὗρεν ἡ γῆ ἀναμισθωθεῖσα, ὀφείλει Μνησίμαχος Αὐτοκράτους καὶ οἱ ἔγγυοι Ἱεροκλῆς καὶ Φρασίλας Ἀμμωνίου καὶ Φάνος Διοδότου κτλ.* — 115 bei *Kaibel* falsch ΤΕΤΟ ΡΑΣΕΣ statt ΤΕΤΟΡΑΕΣ. — 120 *ἐνδεδιωκότα* = att. *ἐμβεβιωκότα*, vgl. *W. H. Roscher*, Rh. Mus. XLIV, 312. — 122 *κατεδικάσθεν* wie 143: sie wurden i m V o r a u s für diese Fälle zu bestimmten Bussen verurteilt, vgl. *προκαδδεδικάσθω* 171. — 125 *ἀμφίστασθαι· ἐξετάζειν Hesych.* — 130 *hως πολίστων* = att. *ὡς πλείστων; πολύς πόλιστος* wie *ἡδύς ἥδιστος, γλυκύς γλύκιστος, παχύς πάχιστος, ταχύς τάχιστος* u. s. w; in dieser Erklärung bin ich mit *Homolle* (Bull. de corr. XV, 627) zusammengetroffen. — 134 ΕΠΙΚΑ ΤΑΒΑΝΟΝΤΙ: *Ahrens* II 209 Anm. — 137 *τοφιῶνας* = att. *ταφεῶνας* „Grabstätten", wie delphisch *ἐντοφηΐων* Bull. de corr XIX (1895), p. 10 Z. 20 (vgl. *Dragoumis*, Bull. de corr. ebd. p. 297) = att. *ἐνταφίων;* bei *Hesych* ist in der Glosse *τοῦφος· τάφος* (*M. Schmidt*: „*τόφος* (Dorice) *Meinekius* recte, ni fallor") *τούφος* zu schreiben und *-ου-* vielleicht als Ausdruck des dumpf gesprochenen *-o*-Lautes zu verstehen, wie in *ὑπύ* Cumä IGSI. 871, *Ἀμούργιος* Amorgos Athen. Mitt. XI, 82 f., *Γούργος* CIA. II, 3582. Eine Erklärung des *-o-* von dorisch *τόφος* versucht *Bechtel*, Bezzenb. Beitr. XXII, 280. — 141 *παρέξοντι*, dagegen *παρhέξοντι* 120, *παρhέξονται* 107. — 149 *οὐχ ὑπογράψονται* und 152 *αἰ δέ χ' ὑπό*; nach aspiriertem Auslaut wird *ὑπό* ohne das Zeichen des spir. asp. geschrieben, sonst stets *hυπο-* und *hυπέρ.* — 150 *hοίσοντι* mit Aspiration wie att. *φρούμιον*, und wie in der Papyrushandschrift des *Herodas* ΟΥΧΟΙϹΙ d. i. *οὐχ οἴσει* VII 91, durch

Korrektur verändert in ΟΥΚΟΙϹΙ d. i. *οὐκ οἴσει*. — 158 *τὸν δεύτερον*: *χῶρον* ist aus Z. 113 zu ergänzen oder vom Graveur aus Versehen ausgelassen (vgl. Z. 161, 164). — 167 Derselbe Weg, der sonst (Z. 26, 31, 162) *ho ἄντομος ho δεύτερος ἀπὸ τᾶς τριακονταπέδω* oder kurz *ho δεύτερος ἄντομος* (Z. 83) heisst, wird hier (wohl nicht nach anderer Zählweise, sondern in Folge eines Versehens) *ho ἄντομος ho τρίτος ἀπὸ τᾶς τριακονταπέδω* genannt. — 177 ΕΕΤΕΟΣ. — 182 Vor dem Namen des Zeugen *Theodoros* ist auf der Tafel ein freier Platz für nachträgliche Hinzufügung der doppelten Bezeichnung (eine Buchstabengruppe und ein Wappenbild) gelassen, die sich vor den meisten übrigen Namen der Herakleer — nicht bei den eponymen Ephoren und nicht bei dem Neapolitaner Z. 187 — findet zur Angabe ihrer weiteren und engeren Geschlechtszugehörigkeit. — 184 Platz ist gelassen für den Vatersnamen des Zeugen *Aristodamos*.

II. 22 ΑΠΕΚΑΤΕΣΤΑΣΑΜΕΣ. — 32 „les mots *ἂν τὼς ὅρως* doivent être transposés après *τρίγυνον*, cf. infrà l. 38" Recueil. — 36. 37 ΤΟΥΤΩ ΤΩ|ΤΩΤΡΙΓΥΩ. — 37 ΠΟΤΤΟϜΙΚΑΤΙΔΕΙΟΝ; vgl. II 18, 42, 77. — 70 Vor *ἐγένετο* fügt *Kaibel* (*καὶ*) ein. — 105 (*δέκα*) hat *Kaibel* ergänzt. — 108 (*τᾶι*) vom Graveur weggelassen.

4630 An der Stelle von Herakleia i. J. 1763 gefunden. Tuffstein, jetzt im Neapler Museum. *Kaibel*, IGSI. 646, wo die früheren Publikationen angegeben sind.

Ηιστιαία πρὸ | αὐταυτᾶς κ|αὶ τᾶς Ἀφροδ|ιτίας δόρκας ||
5 *ἀνέθηκε.*

Kaibel: *Ηιστίαι* (mit Streichung des zweiten Α) und *Δορκάς*. Über lebende Tiere als Weihgeschenke vgl. *Daremberg-Saglio* s. v. donarium p. 370 not. 120.

Münzlegenden.

4631 Diobolen. Cat. of the Greek coins in the Brit. Mus., Italy, 225f.; *Head*, Hist. num. 59.

Av. Herakleskopf. Rv. ΗΕ d. i. *Ηη(ρακληίων)*, zuweilen linksläufig.

Aus der Zeit von 432—380 v. Chr. (*Head*).

4632 Silbermünzen (Didrachmen). Cat. of the Greek coins in the Brit. mus., Italy, 228ff.; *Head*, Hist. num. 59.

Av. Pallaskopf. Rv. *Ηηρακληίων* oder *Ἡρακλείων* Herakles, gewöhnlich mit dem Löwen kämpfend.

Aus der Zeit von 380—300 v. Chr. (*Head*).

4633 Silbermünzen (Drachmen). *Head*, Hist. num. 59.

Av. Pallaskopf. Rv. *Ἡρακληίων*. Eule auf Olivenzweig.

Aus der Zeit von 380—300 v. Chr. (*Head*).

4634 Diobolen. *Head*, Hist. num. 60.

Av. Herakleskopf, auf anderen Pallaskopf.

Rv. *Ἡρακληίων*. Herakles stehend oder im Löwenkampf.

Aus der Zeit von 380—300 (*Head*).

4635 Didrachmen von reduciertem Gewicht. Cat. of the Greek coins in the Brit. Mus., Italy, 231 f.; *Head*, Hist. num. 60.

Av. Behelmter Pallaskopf. Rv. *Ἡρακλείων*. Herakles.

Aus der Zeit von 300—268 v. Chr. (*Head*).

4636 Kupfermünzen. Cat. of the Greek coins in the Brit. Mus., Italy, 233 f.; *Head*, Hist. num. 60.

Av. Kopf der Persephone, des Herakles, der Pallas und andere Bilder.

Rv. *Ἡρακλείων*. Herakles und andere Bilder.

Aus der Zeit von 330—200 v. Chr. (*Head*).

Messenien.

I. Messene.

4637 Basis der Nike des *Paionios* in Olympia. Die zahlreichen früheren Ausgaben und Besprechungen s. bei *Dittenberger-Purgold*, Olympia n. 259.

Μεσσάνιοι καὶ Ναυπάκτιοι ἀνέθεν Διὶ | Ὀλυμπίωι δεκάταν ἀπὸ τῶν πολεμίων. |

Παιώνιος ἐποίησε Μενδαῖος | καὶ τἀκρωτήρια ποιῶν ἐπὶ τὸν ναὸν ἐνίκα.

Das Denkmal ist wahrscheinlich zum Andenken an den Sieg bei Pylos noch vor dem Nikiasfrieden errichtet worden (im Frühjahr 423 nach

Pomtow, Fleckeis. Jahrb. 1896, p. 639). In der ionischen Künstlerinschrift ist das dorische Wort *ναός* als die an Ort und Stelle übliche Bezeichnung des Hauptgebäudes von Olympia beibehalten worden (*Ditt.-Purg.*).

4638 Splitter einer Basis von Kalkstein. *Dittenberger-Purgold*, Olympia n. 172.

[Σό]φιος . . . .
[Με]σσάν[ιος]
[Τοῦδε κλέ]ω νίκημ Μεσσ[ηνίου, ὅς ποτε Πίσηι]
[πρῶτος ἐκη]ρύχθη παῖς στ[άδιον Σόφιος].

Vgl. *Paus.* 6, 3, 2. Gehört nach *Ditt.-Purg.* in die Zeit von 360—300 v. Chr. Das Epigramm ist nach der obigen Ergänzung, deren erster Vers von *Dittenberger*, deren zweiter von *H. Förster*, Die Sieger in den olympischen Spielen I, 30 n. 418 stammt, nicht dorisch abgefasst gewesen. „Denn den Infinitiv *νικῆν* hier zu erkennen, wäre misslich, weil diese Art der Kontraktion zu denjenigen Eigentümlichkeiten der dorischen Mundart gehört, die in der gemischten Kunstsprache der elegischen Dichter meist gemieden werden" *Dittenberger*.

4639 Gefunden in den Ruinen auf dem Berge Ithome. Weisse Marmorplatte, oben und unten gebrochen. *Pittakis*, *Ἐφ. ἀρχ.* 2579; *Le Bas*, Rev. arch. 1844, p. 434; darnach *Le Bas-Foucart* 318.

Zwei Kolumnen (*a*, *b*).

5 *a*) - - - - | *Τιμασίων.* | *Ἀρίστων.* | *Ἀρίων* (oder *Ἡρίων?*) || *Ἀριστέας.* | *Μεναλκίδας.* | *Ὀνασίνικος.* | *Ἀκράτητος.*

5 *b*) *Τι . . . .* | *Κριτόβουλος.* | *Φιλοκράτης.* | *Ἀνδρόνικος.* || *Θιό-*
10 *τιμος.* | *Τηλέας.* | *Καλλιτέλης.* | *Νεόδαμος.* | *Ἀριστέας.* || . *ε . . . . .*

a 4 *Ἀρίων Pittakis*; über das Vorkommen dieses Namens in lakonischen und messenischen Inschriften s. zu n. 4588; statt dessen *Le Bas*: *Ἡρίων*, auch aus Megara (GDI. 3021_5) bekannt.

b 2 *Κριτόβο[υλος] Pittakis; Le Bas*: *Τριτόβου[λος]*. — 5 *Θιότιμος Le Bas* „une forme particulière à la Béotie; mais il est fort possible, que quelques-uns des Béotiens qui relevèrent Messène se soient fixés dans le pays" *Foucart*; aber vgl. lakon. *Θιοκλῆ* n. 4400, *θιῶ* n. 4415, *ἀνιοχίων* n. 4416, *Σίων* n. 4446_{13}, *Σιωνίδα* ebd.$_{16}$; *Pittakis*: *Ὠνότιμος*. — „La forme des lettres indique une bonne époque" *Foucart*. Auch die Bezeichnung der Personen mit dem Eigennamen allein und die Form der Namen stimmt dazu.

4640 Museum von Mavromati. Marmorne giebelgekrönte Stele in zwei Bruchstücken. Die Inschrift *στοιχηδὸν* geordnet zu 11, von Z. 15 an zu 12 Buchstaben in der Zeile, stellenweise sehr beschädigt und schwer lesbar. Nach einer mangelhaften Abschrift in der Zeitschrift Hora vom 24. Juni 1880 und darnach im Parnassos IV, 497 herausgegeben; nach

eigener Abschrift („bei ungünstiger Beleuchtung und eilig genommen") *Wilhelm*, Athen. Mitt. XVI, 345f. n. 1.

[Τεί]σων Ἰκαδέ ος Δαϊφοντ[ίδ] [ο]ς δυωδε(κάτωι) εἶπε· | ἔδοξε
5 τῶι δάμ ωι Μέναλκον Ἀ ριστομένεος | [Ζ]ακύνθιον πρ όξενον
10 εἶμεν | καὶ εὐεργέτα [ν] Μεσσανίων α|ὐτὸν καὶ ἐκγό νους· εἶμεν
15 δὲ | αὐτῶι τὰν προ ξενίαν καθάπ ερ τοῖς ἄλλοι[ς] | προξένοις.
[Προ] στάτας δα[μιορ]|γῶν Τρίτων.

Z. 1 ..ΙΣΩΝ: *Wilhelm*; im Parnassos: [Τρίτ]ωνι. — Der Vatersname Ἰκαδεύς aus *Ϝικαδεύς*, vgl. *Ϝικάδιος*, *Ϝικαδίων* u. a. — 2 ΔΑΙΦΟΝΤ.Δ|.Σ: *M.*, vgl. n. 4678₃; *Wilhelm*: Δαιφοντ[ί]δ[η]ς. — ΔΥΩΔΕ: *M.*; Abkürzung bei Monatsnamen nicht selten; die Messenier nannten die Monate mit Ordinalzahlen, *Bischoff*, De fastis 380f.; statt des Dativs δυωδε(κάτωι) ist auch der Genetiv δυωδε(κάτω) möglich. *Wilhelm* fragt, ob mit δυωδε eine Unterabteilung der Bürgerschaft bezeichnet sei; „Bezeichnung von Abteilungen der Bürgerschaft durch Zahlen ist zwar selten aber nicht ohne Beispiel. Sonst bleibt wohl nur die Annahme, dass δυωδε(κάτεος) den Monat bedeute, in welchem der Beschluss zu Stande kam — der Monatsname Δυωδεκάτης ist aus Tauromenion bekannt IGSI. 425. 427. (430) — oder die noch umständlichere δυωδε(κάται) bezeichne den Tag der Beschlussfassung mit Auslassung des Monatsnamens". — 17. 18 δα[μιορ]γῶν erg. *Wilhelm*. — 18 Im Parnassos Τρίτωνι; „die Reste, welche ich auf meinem Abklatsche erkenne, scheinen allerdings auf einen ähnlichen Namen zu führen" *Wilhelm*.

„Der Schrift nach aus der zweiten Hälfte des vierten oder spätestens den ersten Zeiten des dritten Jahrhunderts" *Wilhelm*.

4641 Museum von Mavromati. Stele, in der Umgebung des Theaters von Messene gefunden. *Oikonomakis*, Τὰ σωζόμενα Ἰθώμης, Μεσσήνης καὶ τῶν πέριξ, p. 25 n. 18, darnach mit Prüfung eines Abklatschs und des Originals *Martha*, Bull. de corr. hell. V, 151 n. 3. — *Cauer* ² 44.

- - - - - - - - - - - - - - - [τῶ]ν συμμάχων ἐν τ - - - | - - - - - - -
τοι καὶ τω - - - | - - - - - - - τριάκοντα - - - | - - - - - - - [αὐ]τοῖς
5 καὶ ἐγγόνοις || - - - - - - - [ἔγκτ]ασιν καὶ πολέμω | [καὶ εἰράνας]
- - - - - ΟΙΣ.ΔΩΜΕΣ | - - - - - - - - βόλο[ν]. Ἦσαν τοὶ | - - - - - -
10 - - - [πρ]οξενο - - | Θρασυβοίλωι | Αἰγύπτω, | Φ . . . . ωνι |
15 Ἀ[ν]δ[ρο]νίκω, | Ἀλεξάν[ο]ρι | Α . . . . . κω, || Ἀντ[ιπ]άτρωι
20 Ἀριστοκράτεο[ς], | Κορύμβωι Σι[λ]ανῶ, | Πίργει | Ἱερωνύμω, |
Ἐχεφυλίδαι | Πανταλέοντος, | Ὀλυμπιοδώρωι | Καλλίππω, ||
25 Καλοσθένει | Ἀλεξίππω, | Ἀρχιλόχωι | Ἀλεξάνορο[ς], | . . θό-
30 ων[τι] | - - ΔΕΙΟ - -

Z. 12, 13, 15, 16, 28 stellt *Martha* her. — 11 Möglich ist Φ[αινί]ωνι, Φ[ράδμ]ωνι, Φ[ρασί]ωνι, Φ[ράσμ]ωνι u. v. a. — 14 Möglich Α[υσινί]κω u. v. a.

— 18 ΣΙΔΑΝΩ: *M.* — 25 Ist *Κακοσθένης* (*Καυκοσθένης*?) nach dem messenischen Heros *Kaukon* (vgl. *Paus.* IV, 26, 8; V, 5, 5; *Strab.* VIII p. 345) benannt? Aber es hat auch den Namen *Καϊκοσθένης* gegeben.

„Les lettres sont d'une bonne époque et permettent de rapporter l'inscription au commencement du 3e siècle“ *Martha.*

4642 Museum von Mavromati. Marmorstele aus dem Tempel der Limnatis, beiderseits Rand, links oben unvollständig, unter dem Text freier Raum. *Wilhelm*, Athen. Mitt. XVI, 349 n. 2.

[Ὁ δεῖνα ἀντίθητ]ι Πετραίαν | [Λιμνάτι· εἰ] δέ τίς κα κατα|[δουλίζηται Π]ετραίαν, ἀποτει|[σάτω δέ]κα μνᾶς ἀργυ-
5 *ρίου ‖ [ἱαρὰ]ς τᾶι Λιμνάτι· προστατευέ|[τω] δὲ ὅσστις κα χρήζηι ὑπὲρ | Πετραίας ὡς ἐλευθέρας | ἐάσας νόμωι πόλεος.*

„Feine Schrift der ersten Hälfte des dritten Jahrhunderts“ *Wilhelm.* Die Herstellung der ersten zwei Zeilen stammt von mir. Z. 1 ιΙΠΕΤΡΑ ΙΑΝ: aus den beiden Hasten am Anfang kann man schliessen, dass vor *Πετραίαν* das Verbum stand. Dann ist am Anfang der folgenden Zeile vor dem Bedingungssatz kaum etwas anderes als der Dativ des Namens der Gottheit zu denken. Also hat die Freilassung in der Form einer Weihung stattgefunden, wie bei den Freilassungen vom Poseidonheiligtum auf dem Tainaronvorgebirge (n. 4588—4592). Es ist also das Verbum [*ἀντίθητ*]*ι* geboten. Dann ist am Anfang der Zeile nur noch Raum für den Eigennamen des Freilassers. — Die übrigen Ergänzungen von [*εἰ*] *δέ τίς* an hat *Wilhelm* hinzugefügt. Z. 5 (*Wilhelm* [*ἱαρὰ*]*ς* oder [*ἱερὰ*]*ς*?) habe ich mich für [*ἱαρά*]*ς* entschieden, da im 3. Jahrh. v. Chr. noch die ältere dialektische Form zu erwarten ist.

4643 In den Ruinen des Tempels der Limnatis von *Le Bas* gefunden. Kleine Stele, oben und links erhalten, rechts gebrochen, aber ohne Buchstabenverlust; der untere Teil verloren. Nach Kopie und Abklatsch *Le Bas*, Rev. arch. 1844, p. 428 und *Le Bas-Foucart* 309 (Architecture, Pélop. pl. IX n. XI). — *Cauer*² 43.

Ἐπὶ ἱαρέος Τ|ιμάρχω ἀφί|ητι Φιλωνίδ[ας τὸν δεῖνα].

Der Priester ist der Eponymos von Messene (vgl. n. 4649); nach *Foucarts* wahrscheinlicher Vermutung war es der Priester des Zeus Ithomatas.

4644 Im Umkreise des Tempels der Limnatis gefunden. Stele, links und unten gebrochen. Nach Kopie und Abklatsch *Le Bas*, Rev. arch. 1844, p. 428 und *Le Bas-Foucart* 310 (Architecture, Pélop. pl. IX n. X).

Ἐφ' ἱερέος Φιλ|ίδα, ἐφόρου Θαλ|ιδάμου, Μη . . |τρια ἀ[φί-ητι] - - - -

Den Ephoros hält *Foucart* hier wie in den Sklavenweihungen vom Tainaron (vgl. zu n. 4588) für einen Tempelbeamten; ich sehe in ihm hier

wie dort den eponymen Staatsbeamten. Messenische Ephoren kennen wir aus *Polyb.* IV 4, 3; 31, 2.

Z. 3 *Le Bas*: MHN; *Foucart*: „je n'ai pas distingué N. — 4 ἀ[φίητι] erg. *Foucart*: „après A *Le Bas* donne dans le texte épigraphique P; je crois plutôt reconnaître sur l'estampage le haut d'un Φ".

4645 Beschluss der Messenier, gefunden in Phigalia. Kalksteinplatte, oben und rechts Rand erhalten, links und unten gebrochen. Nach *Blastos'* Kopie *Kumanudis* in der Zeitschrift Philopatris 1859, 1. Juli. darnach Archäol. Anzeiger 1859, p. 111 und *Pittakis*, Ἐφ. ἀρχ. 3493; dazu die Varianten der eigenen Kopie von *Conze* und *Michaelis* (*C.-M.*), Annali dell' inst. 1861, p. 56f.; *Le Bas-Foucart* 328ª. — *Ditt.*, Syll. 181; *Cauer* ² 45.

[Ἐπειδὴ παραγενόμενο]ι πρεσβε[υ]ταὶ καὶ διαλυ[ταὶ παρὰ
τῶν Αἰτω]λῶν Τίμαιος, Κλεόπατρο[ς ------ τὸ ψάφισ]μα
τὸ παρὰ τῶν Αἰτωλῶν ἀπ[έδωκαν καὶ αὐτοὶ] διελέγοντο
5 ὅμοια τοῖς ἐν τ[ῶι ψαφίσματι, ἀξ]ιῶντες διαλυθῆμεν ποτὶ
τὼ[ς Φιαλέας, συνπ]αρόντες δὲ καὶ τῶν ἐ Φιαλείας | ------
Θαρυκίδας, Ὀνόμανδρος, [Ἀν]φίμα[χος] ------λας, Ὀρθο-
λαΐδας, Κραταιμένης, Τι ------, [Δ]αμάρετος τὰ αὐτὰ ἠξίων,
10 ἔδοξε τᾶι | [πόλι τῶν Μ]εσανίων ἦμεν τοῖς Μεσσανίοις κα[ὶ
τοῖς Φια]λέοις ἰσοπολιτείαν καὶ ἐπιγαμία[ν ποτ' ἀλλ]άλως,
ποιήσασθαι δὲ καὶ συνβολὰν ἅ[ν κα δοκεῖ] ἀνφοτέραις ταῖς
πολέοις, τὰν δὲ χ[ώραν καρπ]ίζεσσθαι ἑκατέρως τώς τε Με-
15 σαν(ί)ω[ς καὶ τὼς Φι]αλέας, καθὼς καὶ νῦν καρπιζόμεθα. |
[ὁπόσα δέ κ]α ὁμολογήσωμες ποτ' ἀλλάλως, ὁμό[σαι ἀνφοτέ-
ρ]ως καὶ στάλας καταθέσθαι ἐν τοῖς | [ἱαροῖς, καθώς κ]α
δοκεῖ ἀνφοτέραις ταῖς πολέο[ις. ἐὰν δὲ μὴ ἐμ]μένωντι οἱ
20 Φιαλέες ἐν τᾶι φιλ[ίαι ποτὶ τὼς Μεσ]σανίως καὶ Αἰτωλώς,
ἄκυρος ἐ[στω ἅδε ἁ ὁμολο]γία. ἔδοξε δὲ καὶ τοῖς Φιαλέ[οις
ποιεῖν, καθάπερ ο]ἱ Μεσσάνιοι ἐψαφίξαντ[ο. Ὅρκ]ος τῶν
Μεσσανίων· Ὀμ]νύω Δία Ἰθωμάταν, Ἥρα[ν -- | ------ον
25 καὶ θεὼς ὁρκί[ως πάντας ἦ | [μὰν ἐμμενεῖν] ---- ἐν τᾶι
φιλία[ι τᾶι ποτὶ | τὼς Αἰτωλὼς καὶ Φι]αλέας τ---- | ------
μεν ------

Die Ergänzungen stammen, wo nichts anderes bemerkt ist, von *Kumanudis* oder *Foucart*.

Z. 7 ΛΥΦΙΜΑ (sic) *C.-M.*, d. i., wie ich vermute [Ἀν]φίμα[χος]: *Kumanudis* und die neueren Herausgeber: Ἀμφίμα[χος]. — 10 ΙΕΣΑΝΙΩΝ (sic) *C.-M.*; *Kum.*: [Με]σσανίων. — 12 ΣΥΝΒΟΛΑΝ (sic) *C.-M.*; *Kum.*: συμβολάν. — 13 ἀνφοτέραις *Kum.*; *C.-M.*: ΑΥΦΟΤΕΡΑΙΣ. — 14 ΙΞΕΣ ΣΘΑΙ *C.-M.*; *Kum.*: ίζεσθαι. — ΜΕΣΑΝΩ (sic) *C.-M.*; *Kum.*: Μεσανίω. — 16 ΟΜΟΛΟΓΗΣΩΜΕΣ *C.-M.*; *Kum.*: ὁμολογήσωμεν. — 17 καταθέσθαι

Kum.; *C.-M.*: ΚΑΤΑΤΕΣΘΑΙ „sarà erroneo". — 20 [*Μεσ*]*σανίως Kum.*; *C.-M.*: ΞΣΑΝΙΩΣ „può essere Ε ο Σ la prima lettera". — 25. 26 [*τᾶι ποτὶ* | *τὼς Αἰτωλὼς*] erg. *Dittenberger.*

In den dorischen Dialekt, den die Inschrift festhält, hat sich ein attisches -*η*- verirrt in *ἠξίων* 10, wenn wirklich so, und nicht vielmehr *ἀξίων* auf dem Steine steht. Ob die beiden Formen [*ἀξ*]*ιῶντες* 5 und *ἠξίων* 9 von *ἀξιόω* stammen, wie man meint (vgl. z. B. *Foucart* p. 179), ist nicht sicher; wir kennen auch *ἀξιάω,* vgl. Verf., Griech. Dial. I 180. Über den Charakter der *συμβολαί* (Z. 12) vgl. Verf., Ber. d. K. S. Ges. d. Wiss. 1896, p. 21 ff.; bemerkenswert ist, dass selbst der Abschluss eines Isopolitievertrags, wie diese Inschrift lehrt, den gleichzeitigen Abschluss einer *συμβολά* nicht überflüssig machte. Der Stein enthält die nach Phigalia gesandte Kopie des Beschlusses der Messenier. Die Herausgeber datieren die Inschrift mit Wahrscheinlichkeit in die Zeit von 250 bis 222 v. Chr. Denn seit dem Ende des Jahres 222 v. Chr. war Phigalia dem aitolischen Bunde bereits einverleibt (*Polyb.* IV, 3, 6; 31, 1), während es in dieser Inschrift nur durch *συμμαχία,* nicht durch *συμπολιτεία* mit ihm verbunden ist. 221 v. Chr. beginnt der Krieg zwischen dem aitolischen Bunde, dem Phigalia, und dem achaiischen, dem Messene angehörte. Den Z. 2 genannten aitolischen Gesandten *Timaios* identificiert bereits *Kumanudis* vermutungsweise mit dem aitolischen Heerführer gleichen Namens, der c. 242 v. Chr. (*Droysen,* Gesch. des Hell. III, 1, p. 429) in Lakonien einfiel und den Tempel des Poseidon auf Tainaron plünderte, *Dittenberger* mit dem in dem Beschlusse der Aitolier Bull. de corr. V, 404 n. 14 genannten aitolischen Strategen *Timaios.*

4646 Gefunden bei Mavromati, nicht weit vom Stadion. Marmorstein. *Leake,* Tr. in M. n. 46, darnach *Keil,* Anal. ep. et onom. 98 und *Le Bas-Foucart* 317a.

- - - - - *ταν* - - - - - | - - - - [*ἐπ᾽ εὐ*]*θείας ἐ*[*πὶ*] - - - - | - - - *ἐς*
5 *τοὺς ὅρο*[*υς* - - - - | - - *Μ*]*εσσάνιοι ἐκ τᾶν Λευκ* - - - - ‖ - - *ὕδωρ*
κοινὸν - - - - | - - [*Ἄν*]*δρων Πατερίνου, Φιλο* - - - - | - - *σηνος*
Φιαλεῦσι καὶ Μ[*εσσανίοις*] - - - - - - *ν οἱ Μεσσάνιοι κράναν*
τ[*ὰν καλουμέναν*] - - - - |
10 - - - *αλος Φιλώτα, Αἴσχρων Τιμα* - - - ‖ - - - [*τῶ*]*ν ὅρων τῶν*
. . *ἀντιλεγομ*[*έ*]*ν*[*ων* - - - | - - - *τοὺ*]*ς ὅρους· ἀπὸ . . τοῦ κολωνοῦ τοῦ* - - - | - - - *αι ἐπ᾽ εὐθείας εἰς τὰν κρά*[*ναν* - - - | - - -
Μεσσα]*νίοις καθὼς τὰ σαμεῖα* - - - | - - - [*τοῦ καλουμ*]*ένου*
15 *Κρησίου, εἶ τὸ σαμεῖ*[*ον*] ‖ - - - *υ εἰς τὰν κράναν τὰν κα*[*λουμέναν* - - - | - - - *Μεσσ*]*άνιοι.* |
- - - [*Ἄνδρων*] *Πατερίνου, Φιλιστι* - - - | - - - *Φιαλεῦσι καὶ*
20 *Μεσσα*[*νίοις*] - - - | - - - *αν ἀπὸ τοῦ κ* - - - ‖ - - - [*ἐπ᾽*] *εὐθεία*[*ς*] - - -

Drei auf dem Steine durch Zwischenräume von einander getrennte Grenzregulierungen (1: Z. 1—8; 2: Z. 9—16; 3: Z. 17—20) der Städte Messene und Phigalia. Die Ergänzungen sind zum grössten Theile von *Keil*, *τὰ σαμεῖα* Z. 14, *τὸ σαμεῖ[ον]* Z. 15 hat *Foucart* erkannt, *εἶ* Z. 14 *M.*

4647 Museum von Mavromati. Zwei an einander passende Fragmente einer Stele, südwestlich vom Theater gefunden. *Martha*, Bull. de corr. V, 150 n. 1 mit Benutzung von *Oikonomakis, Τὰ σωζόμενα Ἰθώμης κτλ.*, p. 47 n. 56.

---- ΕΙ ----- | --- *κατὰ δὲ ϱαν* ---- | -- *α τὸ κοῖλον εἰς*
5 *τὰν* , ---- | - *ς οὖν τὰν χώϱαν Με[σσαν* ---- *Μεσσά]νιοι διὰ*
*τὸ παϱαδε*Γ ---- *[Φ]ιαλεῖς* ΚΤΗΣΕΙΣ.Ν *σταλοτα* ---- *[Μεσ-*
σα]νίοις πεϱὶ τᾶς [χ]ώϱας ποτὶ Με ---- *σίαν τῶν καϱπῶν*
10 *ἀπολα* ---- | -- *κϱινομένας χώϱας κα* ---- | --- *κϱινομένας*
χώϱα[ς] ---- | ---- *[ἐπι]νόμια, ἃ ἔπϱαξε* ---- | ----- *ἀγα-*
θοῦ τοῦ ---- | ----- *ἀποπϱα* ---- | ----- *ς Μεσ[σανίο.ς]* ----

Die Ergänzungen in Z. 10 und 11 sind von *Martha*, *[Φ]ιαλεῖς* Z. 5. 6 von *Weil*, Athen. Mitt. VII, 211 A. 2, die übrigen von *M.* — Z. 2 ΚΑ ΤΑΔΕΡΑΝ *Wilhelm*, Athen. Mitt. XVI, 345, 1; *Martha*: *κατ' ἄδειαν.* — 5 *παϱαδέ[ξασθαι]*? — Grenzregulierungen der Städte Messene und Phigalia wie in der vorangehenden; sie scheinen in die durch n. 4645 charakterisierte Zeit der Verständigung und des Bündnisses beider Städte zu gehören.

4648 Ebd., auf der Rückseite des Steines, der die vorige Inschrift trägt. *Martha*, Bull. de corr. V, 151 n. 2.

-- *[Φια]λιεῖ* ---- | ---- ΙΠΑΤΙ ---- -- *[τοῖς ἄλλοις πϱοξένοις*
5 *καὶ εὐε]ϱγέταις* | ---- Ο *εἰς στάλα[ν λιθίναν]* ---- | -- ΛΔΑΤΑ
ΝΕΝΑΙ ---- | ---- *Μεσσανίων π* ---- | ---- *τὸ ἱεϱὸ[ν]* ----

Die Ergänzungen habe ich hinzugefügt. Z. 2 *[Ἄνδϱων]ι Πατ[ϱεῖνου]*? Vgl. n. 4646.

Unter dieser Inschrift befinden sich auf derselben Seite des Steines noch geringe Reste eines anderen Textes: ---- ΝΟΙΔΙΚ ---- | ---- *[κ]ϱάτης Ἐ* ---- | ---- *ονος τ* ---- | ---- ΡΙΣΕΙ ----

---

4649 Museum von Mavromati. In den Ruinen des Heiligtums der Limnatis von *Le Bas* gefunden. *Le Bas*, Rev. arch. 1844, p. 428 und *Le Bas*, Voy. arch. (epigr. Text) 311, sowie (nach *Landrons* Zeichnung) *Le Bas*, Architecture, pl. IX, n. VIII); *E. Curtius*, Peloponnesos II, 191 n. 20; *Keil*, Schedae epigr. p. 17 f.; nach *Foucarts* Vergleichung des Originals *Le Bas-Foucart* 311; *Petridis*, Parnassos III, 1024 n. 15; *Wihelm*, Athen. Mitt. XVI, 345 ff. n. 3.

Σωτέλης, | *Ἀϱχοῖ,* | *Λιμνάτι* | *ἱεϱιτεύσαντε.*

Die Inschrift ist vollständig erhalten.

